ῥάγεται. οἷον, ἀπὸ τοῦ κλέπτω, κλοπὴ τὸ ῥηματικὸν, ὁ Μέσος Παρακείμενος, κέκλοπα. ἀπὸ τοῦ τύπτω, τύπος ὁ Μέσος παρακείμενος, τέτυπα. ἀπὸ τοῦ βλάπτω, βλάβη, βέβλαβα ὁ Μέσος Παρακείμενος.

§. σϞ΄. Εἰ δὲ τὸ ῥηματικὸν δύο σύμφωνα ἔχει ἐκ τοῦ Ἐνεστῶτος, φυλάττει αὐτὰ καὶ ὁ Μέσος Παρακείμενος. οἷον, ἀπὸ τοῦ ῥέγκω, ῥόγκος, ὁ Μέσος Παρακείμενος, ἔρρογκα.

§. σϞα΄. Ὅτε δὲ ὁ Ἐνεστὼς λήγων εἰς ζ, ἢ εἰς δύο σσ, εἰς ξ, τὸν μέλλοντα ποιεῖ, τότε ὁ Μέσος Παρακείμενος τὸ γ, ἔχει. οἷον, κράζω, κράξω, κέκραγα. πλήσσω, πλήξω, πέπληγα. Ὅτε δὲ ὁ Ἐνεστὼς εἰς ζω, λήγων, εἰς σ, τὸν Μέλλοντα ποιεῖ, τὸ δ, ὁ Μέσος Παρακείμενος ἔχει. οἷον, φράζω, φράσω, πέφραδα.

§. σϞβ΄. Ὅτε δὲ ὁ Ἐνεστὼς καθαρῶς προφέρεται, καὶ ὁ Μέσος Παρακείμενος ὁμοίως. οἷον, ἀκούω, ἤκοα Κοινῶς, καὶ ἀκήκοα Ἀττικῶς.

§. σϞγ΄. Παραλήγουσαν δὲ τὴν αὐτὴν ἔχει ὁ Μέσος παρακείμενος τῷ πρώτῳ Παρακειμένῳ. οἷον, τέτυφα, τέτυπα. πέπληχα, πέπληγα. νένηκα, νένηθα.

§. σϞδ΄. Ὅτε δὲ εὑρεθῇ ε, ἐν δισυλλάβῳ μέλλοντι, εἰμὲν μόνον, τρέπεται εἰς ο, ἐν τῷ Μέσῳ Παρακειμένῳ. οἷον λέξω, λέλογα. τέξω, τέτοκα. γενῶ, γέγονα. σπερῶ. ἔσπορα. φθερῶ, ἔφθορα. εἰ δὲ μετὰ τοῦ ι, ἐν διφθόγγῳ ει, ὁμοίως τὸ ε, τρέπεται εἰς ο, καὶ τὸ ι, προσγράφεται. οἷον, πείθω, πείσω, πέπεικα, πέποιθα, εἴδω, εἴσω, εἶκα, οἶδα. εἴκω, εἴξω, οἶκα, καὶ Ἀττικῶς